ἐπαινεῖ· λέγει γὰρ ʻκαὶ μάλαʼ καὶ ἐπιφέρει τὸ ʻἀστείαςʼ. οὐ δεῖ δὲ οὐδὲ εἰς ἄκρον ἐπαινεῖν οὐδὲ εἰς ἄκρον σκώπτειν· δείξει τοίνυν αὐτὸν μετʼ ὀλίγον σκώπτοντα τὴν ῥητορικὴν καὶ λέγοντα μηδενὸς αὐτὴν ἀξίαν.

*Πολλὰ γὰρ καὶ καλά* [447 a 5]: ἰδοὺ καὶ τοῦτο **5** ἄχρηστον· οὐ γὰρ τὸ πλῆθος δεῖ ἐπαινεῖν ἀλλὰ τὰ λεγόμενα. ἐπήγαγεν δὲ τὸ ʻκαλὰʼ ὡς κριτὴν ἑαυτὸν καθιστάς· ποία δὲ κρίσις Καλλικλέους; ὥστε πάντα ἀπαιδεύτως φθέγγεται.

*Τούτων μέντοι, ὦ Καλλίκλεις* [447 a 7]: ʻτοῦ μὴ **6** εὑρεθῆναί μεʼ, φησίν, ʻὦ Καλλίκλεις, αἴτιος γέγονεν ὁ Χαιρεφῶν ἀναγκάσας με ἐπὶ πολὺ διατρῖψαι ἐν ἀγορᾷʼ. καὶ ἄξιον ζητῆσαι πῶς φιλόσοφος ἀγοράζει· δεῖ γὰρ ἡσύχιον βίον ἄγειν. φαμὲν ὅτι καὶ ὁ φιλήδονος ἀγοράζει καὶ ὁ φιλοχρήματος καὶ ὁ φιλότιμος καὶ ὁ φιλόσοφος, ἀλλʼ οὐχ ὁμοίως πάντες· ὁ μὲν γὰρ φιλήδονος ἀγοράζει ὀπιπεύσων κόρας καλάς, ἵνα ἀπατήσῃ, ὁ δὲ φιλοχρήματος περιβλεπόμενος εἰ δυνηθείη πωλούμενόν τι ὠνήσασθαι καλῶς καὶ | κερδᾶναι, ὁ δὲ φιλότιμος διὰ τὸ πάντας αὐτῷ προσέχειν *10* ὡς κάλλος ἔχοντι καὶ σῶμα μέγα, ὁ δὲ φιλόσοφος ἵνα νέους πλανωμένους ἐπιστρέφοι καὶ πρὸς τὸ κάλλιον φέροι. οὕτω καὶ Θεαίτητον σωφρονίζει καὶ Χαρμίδην καὶ Ἀλκιβιάδην. ἀμέλει φιλόσοφός τις διψήσας εἰσῆλθεν εἰς καπηλεῖον καὶ ἔπιεν ὕδωρ· εἶτα ἐξιόντι αὐτῷ ἀπήντησέ τις ἀπὸ ἱεροῦ ἐξερχόμενος καὶ λέγει αὐτῷ ὅτι ʻφιλόσοφος ὢν ἀπὸ καπηλείου ἐξέρχῃ;ʼ ὁ δέ φησιν ὅτι ʻἐγὼ μὲν ἀπὸ τοῦ καπηλείου ἐξέρχομαι ὡς ἀπὸ ἱεροῦ, σὺ δὲ ἀπὸ τοῦ ἱεροῦ ὡς ἀπὸ καπηλείουʼ. ἡ πολιτεία οὖν κρίνεται, οὐχ ἡ διατριβή.

*Πάλιν δὲ κἀκεῖνο δεῖ ζητῆσαι, διὰ τί τὸ ʻἀναγκάσαςʼ*

**mg. 12.14** ἀπορία | λύσις || **26** ση. διὰ τὴν ἀπολο(γίαν) || **30. 12, 1** ἀπορία | λύσις